# ΕΓΧΕΙΡΙΔΙΟΝ

ΗΤΟΙ

ΑΚΟΛΟΥΘΙΑ

ΕΣΠΕΡΙΝΟΥ

ΟΡΘΡΟΥ

ΚΑΙ

ΑΓΡΥΠΝΙΑΣ

## ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΜΕΓΑΛΟΥ ΕΣΠΕΡΙΝΟΥ

Ἑκάστου Σαββάτου καὶ τῶν ἑορταζομένων Ἁγίων.

+ ------ + ------ +

*Ἵσταται ὁ Ἱερεὺς ἔμπροσθεν τῆς πύλης τῆς λιτῆς, καὶ στὰς πρὸς ἀνατολὰς ποιεῖ τὸ σημεῖον τοῦ σταυροῦ τρὶς καὶ ἐκφωνεῖ.*

**Ε**ὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης λέγει·* **Ἀ**μήν.

*Ὁ Ἱερεύς·*

**Δ**όξα σοι ὁ Θεὸς ἡμῶν Δόξα σοι.

**Β**ασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

*Ὁ Ἀναγνώστης λέγει·*

**Τ**ὸ Τρισάγιον· **Π**άτερ ἡμῶν ...

*Ὁ Ἱερεύς.* **Ὅ**τι σοῦ ἐστιν ἡ Βασιλεῖα ...

*Ὁ Ἀναγνώστης λέγει τὴν ἐννάτην ὥραν.*

*Μετὰ τὴν εὐχὴν τῆς ἐννάτης, ὁ ἀναγνώστης λέγει·*

**Ἀ**μήν.

**Δ**όξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Εὐλόγησον.

*Καὶ ὁ Ἱερεὺς ποιεῖ τὴν ἀπόλυσιν οὕτως*

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου Ἁγίας αὐτοῦ Μητρός, τῇ Χάριτι τῶν Παντίμων Δώρων χρυσοῦ, λιβάνου καὶ σμύρνης, τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Παύλου, τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου· τοῦ ἁγίου ἐνδόξου ὁσιομάρτυρος Παχωμίου· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακείμ καὶ Ἄννης· (τοῦ ἁγίου - τῆς ἡμέρας -, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν), καὶ Πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός,

*Καὶ εὐθὺς τὸ*

<< Δι' εὐχῶν >>

Ἀμήν.

*Εἶτα εἰσέρχεται ἐν τῷ Ἁγίῳ Βήματι προσκυνήσας τὴν Ἁγίαν Τράπεζαν, καὶ βαλὼν Ἐπιτραχήλιον, ἐκφωνεῖ·*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης λέγει·* Ἀμήν.

*Καὶ εὐθὺς λέγει ὁ προεστὼς τὸν προοιμιακὸν ψαλμὸν ἀργά.*
*Ὁ δὲ ἱερεὺς ἀναγινώσκει μυστικῶς τὰς ἑπτὰ εὐχὰς τοῦ λυχνικοῦ·*

## ΕΥΧΗ Α΄.

**Κ**ύριε, οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· ποίησον μεθ᾽ ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τὰς καρδίας ἡμῶν, εἰς τὸ φοβεῖσθαι τὸ Ὄνομά σου τὸ ἅγιον· διότι μέγας εἶ σύ, καὶ ποιῶν θαυμάσια· σὺ εἶ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε· δυνατὸς ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν, καὶ σώζειν πάντας τοὺς ἐλπίζοντας, εἰς τὸ Ὄνομά σου τὸ ἅγιον. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ἀ**μήν.

## ΕΥΧΗ Β΄.

**Κ**ύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ᾽ ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν. Ὁδήγησον ἡμᾶς ἐπὶ λιμένα θελήματός σου. Φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν, εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα

τὸν χρόνον τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Γ΄.

Κύριε, ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον Ὄνομά σου, καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου, ἀλλὰ χάρισαι ἡμῖν, Κύριε, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾷν, καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Δ΄.

Ὁ τοῖς ἀσιγήτοις ὕμνοις, καὶ ἀπαύστοις δοξολογίαις ὑπὸ τῶν ἁγίων Δυνάμεων ἀνυμνούμενος, πλήρωσον τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς σου, τοῦ δοῦναι μεγαλωσύνην τῷ Ὀνόματί σου τῷ ἁγίῳ· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον μετὰ πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ, καὶ φυλασσόντων τὰς ἐντολάς σου· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύμα-

τι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Ε΄.

Κύριε, Κύριε, ὁ τῇ ἀχράντῳ σου παλάμῃ συνέχων τὰ σύμπαντα, ὁ μακροθυμῶν ἐπὶ πάντας ἡμᾶς, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, μνήσθητι τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου· ἐπίσκεψαι ἡμᾶς ἐν τῇ σῇ ἀγαθότητι· καὶ δὸς ἡμῖν διαφυγεῖν καὶ τὸ λοιπὸν τῆς παρούσης ἡμέρας, ἐκ τῶν τοῦ πονηροῦ ποικίλων μηχανημάτων, καὶ ἀνεπιβούλευτον τὴν ζωὴν ἡμῶν διαφύλαξον, τῇ χάριτι τοῦ παναγίου σου Πνεύματος. Ἐλέει, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΣΤ΄.

Ὁ Θεὸς, ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ, καὶ πλουσίᾳ προνοίᾳ διοικῶν τὰ σύμπαντα· ὁ καὶ τὰ ἐγκόσμια ἀγαθὰ ἡμῖν δωρησάμενος, καὶ κατεγγυήσας ἡμῖν τὴν ἐπηγγελμένην βασιλείαν, διὰ τῶν ἤδη κεχαρισμένων ἡμῖν ἀγαθῶν· ὁ ποιήσας ἡμᾶς καὶ τῆς νῦν ἡμέρας τὸ παρελθὸν μέρος ἀπὸ παντὸς ἐκκλῖναι κακοῦ, δώρησαι ἡμῖν καὶ τὸ ὑπόλοιπον ἀμέμπτως ἐκτελέσαι, ἐνώπιον τῆς ἁγίας δόξης σου, ὑμνοῦντας σέ, τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ

τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Ζ΄.

Ὁ Θεός, ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ διαχωρίσας ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους· καὶ τὸν μὲν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλούς, καὶ ἐπὶ τῆς παρούσης ὥρας προφθάσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει, καὶ τὴν ἑσπερινήν σοι δοξολογίαν προσαγαγεῖν· αὐτός, φιλάνθρωπε Κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας. Παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου· καὶ δὸς ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναί, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ· ἵνα καὶ ἐπὶ ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν ἔν νυκτὶ τοῦ Ὀνόματός σου· καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει ψυχῆς διανιστῶμεν, πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων, καὶ παντὸς τοῦ λαοῦ σου· ὃν, ταῖς πρε-

σβείαις τῆς ἁγίας Θεοτόκου, ἐν ἐλέει ἐπίσκεψαι. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ἀ**μήν.

*Πληρουμένου δὲ τοῦ Προοιμιακοῦ Ψαλμοῦ, λέγει αὐτὸς ὁ Ἱερεὺς ἢ ὁ Διάκονος, εἰ ἔστιν*

**Ἐ**ν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

**Ὑ**πὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Ὑ**πὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

**Ὑ**πὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

**Ὑ**πὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Ὑ**πὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, καὶ τοῦ φιλοχρίστου στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Ὑ**πὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

**Ὑ**πὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ Ἱερεὺς ἐκφώνως*

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Εἶτα τὸ,* Μακάριος ἀνὴρ.

*Εἶτα λέγει ὁ Διάκονος τὴν μικρὰν Συναπτήν·*

Ἔτι, καὶ ἔτι. ... Ἀντιλαβοῦ, σῶσον ... Τῆς Παναγίας ἀχράντου, ... *κτλ.*

*Ὁ Ἱερεὺς ἐκφώνως*

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ

τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Εἶτα τό,* Κύριε ἐκέκραξα· *οὗ ψαλλομένου, λαβὼν ὁ Διάκονος τὸ θυμιατὸν καὶ αἰτήσας εὐλογίαν, ἐξέρχεται καὶ θυμιᾷ τὰς ἁγίας εἰκόνας καὶ τὸν λαόν· καὶ ὑποστρέψας περιμένει ἐκεῖσε. Ὅταν δὲ ψάλλωσι τό,* Καὶ νῦν, *ἐξέρχεται ἅμα τῷ Ἱερεῖ, καὶ ἀπέρχονται εἰς τὸν συνήθη τόπον. Κύψαντος δὲ τοῦ Διακόνου καὶ ἠρέμα εἰπόντος,* Τοῦ Κυρίου δεηθῶμεν. *Ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν ταύτην μυστικῶς·*

## ΕΥΧΗ ΤΗΣ ΕΙΣΟΔΟΥ

Ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καὶ δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε· Κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου· καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν· μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Καὶ μετὰ τὴν Εὐχήν, λέγει ὁ Διάκονος*

Εὐλόγησον Δέσποτα, τὴν ἁγίαν Εἴσοδον.

*Καὶ ὁ Ἱερεὺς εὐλογεῖ κατὰ Ἀνατολὰς λέγων*

Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Εἶτα ὁ Διάκονος, εἰ ἐστίν, ἐκφωνεῖ·*

Σοφία, ὀρθοί·

*Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ, **Φῶς** ἱλαρόν, πρὸς τὸν λαὸν θεωρῶν λέγει ὁ Διάκονος*

Ἑσπέρας προκείμενον.

*Εἶτα, ἐὰν ὑπάρχωσι προφητικὰ ἀναγνώσματα, ἐκφωνεῖ·*

Σοφία - Πρόσχωμεν.

*Ἐὰν δὲ ἀποστολικά, ἐκφωνεῖ·*

Πρόσχωμεν - Σοφία - Πρόσχωμεν.

*Εἶτα στὰς ἐν τῷ συνήθει τόπῳ λέγει·*

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρός ἡμῶν (τοῦ δεῖνος) Ἱερομονάχου, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης, καὶ ὑπὲρ

πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

*Καὶ τὰ ἑξῆς ὀνόματα·*

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἐν μακαρίᾳ, τῇ λήξει γενομένων εὐσεβεστάτων ὀρθοδόξων βασιλέων, Ρωμανοῦ, Μιχαὴλ καὶ Προκοπίας τῆς αὐγούστης, τῶν βασιλέων, Ἰωάννου, Μιχαήλ, Ἀλεξίου, Θεοδώρου, Ἰωάννου, Πέτρου, Στεφάνου, Λαζάρου, Γκιούρκα, Στεφάνου, Γεωργίου, Ἰωάννου, Ἀγγελίνας, Ραδοσλάβου, Μαρίας καὶ Βασιλείου· τῶν ἡγεμόνων, Παλάσας, Θεοδώρου, Ἰωάννου, Κωνσταντίνου, Ἑλένης δόμνης καὶ Ἀνθίμου Ἱερομονάχου τῶν ἀειμνήστων κτιτόρων τῆς Ἁγίας Μονῆς ταύτης, γονέων, τέκνων, ἀδελφῶν καὶ τῶν συγγενῶν αὐτῶν.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἐν εὐσεβεῖ τῇ λήξει γενομένων δούλων τοῦ Θεοῦ, Πέτρου, Αἰκατερίνης, Ἐλισάβετ, Παύλου, Ἀλεξάνδρου, Νικολάου, Κωνσταντίνου, Ἀλεξίου, Μιχαήλ, Ἀλεξάνδρου, γονέων, τέκνων, ἀδελφῶν καὶ τῶν συγγενῶν αὐτῶν.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἐν μακαρίᾳ, τῇ λήξει γενομένων δούλων τοῦ Θεοῦ, Διονυσίου, Νίκωνος, Ἰωακείμ, Ματθαίου, Ἀγαθαγγέλου, Μελετίου, Ἀνθίμου, Ἀγαθαγγέλου τῶν ἀοιδίμων Πατριαρχῶν.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἐν μακαρίᾳ, τῇ λήξει γενομένων δούλων τοῦ Θεοῦ, τῶν εὐσεβεστάτων αὐθεντῶν, Ματθαίου βοεβόδα, Ἑλένης δόμνης,

Σερπάνου βοεβόδα, Κωνσταντίνου βοεβόδα, Μπαλάσας δόμνης, Μαρίας δόμνης, Ἀλεξάνδρου βοεβόδα, Αἰκατερίνης δόμνης, Κωνσταντίνου βοεβόδα, Σμαράγδας δόμνης, Κωνσταντίνου βοεβὸδα, Μαρίας δόμνης, Βασιλείου βοεβόδα, Αἰκατερίνης δόμνης, Ἰωάννου βοεβόδα, Θεοδώρου βοεβόδα, Μαρίας δόμνης, Μαρίας δόμνης, Μυρονάσκου, Ἰωαννίτζας, Νικολάου, Δροσούλου, Μιχαήλ, Βύσση, Ἄννης, Ἑλένης, Μαρίας δόμνης, Ἐλισάβετ, Μαρίας, Ἀναστασίας, Πέτρου, Δημητρίου, Σεργίου, Ἀκυλίνης, Ἀκυλίνης, Εὐδοκίας, Εἰρήνης, Μαρίας, Αἰκατερίνης, Γερμανοῦ, Βερροίας, Ἱερεμίου βοεβόδα, Εὐστρατίου βοεβόδα, Θεοδώρου, Ἰωάννου, Μυρῶν, Ἑλένης, Ἄννης, Ἀντωνίου, Ἰωάννου, Αὐγουστίνου, Ἐμμανουήλ, Φωτεινῆς, γονέων, τέκνων, ἀδελφῶν καὶ τῶν συγγενῶν αὐτῶν.

*ὅταν ὑπάρχουν ὀνόματα δία μνημόσυνον*

**Ἔ**τι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως (τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων τοῦ Θεοῦ ......) καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι (αὐτοῖς) πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

*καὶ συνεχίζομεν*

**Ἔ**τι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, συγχωρήσεως, ἐπισκέψεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν, τῶν δοῦλων τοῦ Θεοῦ, πάντων τῶν πατέρων καὶ ἄδελφῶν ἡμῶν, τῶν

κατοικούντων καὶ ἐνασκουμένων ἐν τῷ Ἁγιωνύμῳ Ὄρει τούτῳ.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν ταῖς διακονίαις ὄντων, καὶ πάντων τῶν ἐλεούντων, διακονούντων καὶ διακονησάντων, ἐν τῇ Ἁγίᾳ Μονῇ ταύτῃ.

*Ὁ Ἱερεὺς ἐκφώνως*

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Μετὰ δὲ τὸ, Καταξίωσον, Κύριε. Ὁ Διάκονος*

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς τῇ σῇ χάριτι.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

**Τ**ὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

**Χ**ριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

**Τ**ῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ Ἱερεὺς ἐκφώνως*

**Ο**τι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἱερεύς* **Ε**ἰρήνη πᾶσι.

*Ὁ Διάκονος*

ατε

**Τ**ὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίν[redacted].

## ΕΥΧΗ ΤΗΣ ΚΕΦΑΛΟΚΛΙΣΙΑΣ

*ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς*

**Κ**ύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ, καὶ φιλανθρώπῳ Κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας· οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ

σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν· οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.

*Εἶτα εκφώνως*

Εἴη τὸ κράτος τῆς Βασιλείας σου εὐλογημένον, καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Μετὰ τὸ, Νῦν ἀπολύεις, καὶ τὸ Τρισάγιον, ἐκφωνεῖ ὁ Ἱερεύς·*

Ὅτι σοῦ ἐστὶν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Μετὰ δὲ τὸ Ἀπολυτίκιον, εἰ μὲν οὐκ ἔστιν Ἀγρυπνία, λέγει ὁ Διάκονος*

Σοφία.

*Καὶ Ὁ Ἱερεὺς*

Ὁ ὢν εὐλογητὸς, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ προεστὼς λέγει·*

Στερεῶσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν, τῶν εὐσεβῶν καὶ ὀρθοδόξων

Χριστιανῶν, σὺν τῇ ἁγίᾳ μονῇ ταύτῃ εἰς αἰῶνα αἰῶνος.

*Ὁ ἀναγνώστης λέγει·*

Τὴν τιμιωτέραν... Δόξα ... Καὶ νῦν ...

Κύριε ἐλέησον. γ΄.

Εὐλόγησον.

*Λέγοντος αὐτά, Ὁ ἱερεὺς κάμνει σχῆμα πρὸς τὴν εἰκόνα τῆς Θεοτόκου καὶ λέγει μυστικῶς.*

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

*Λέγων δὲ Δόξα πατρὶ ... κάμνει σχῆμα πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ καὶ λέγει πάλιν μυστικῶς.*

*Δόξα σοι Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.*

*Καὶ εὐθὺς τὴν μεγάλην Ἀπόλυσιν οὕτως·*

Ὁ Ἀναστὰς ἐκ νεκρῶν (εἰ δὲ μή), Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου Ἁγίας αὐτοῦ Μητρὸς, Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· τῇ Χάριτι τῶν Παντίμων Δώρων χρυσοῦ, λιβάνου καὶ σμύρνης, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν Μεγάλων Διδασκάλων καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν

Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, Διονυσίου Αἰγίνης καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων, Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου, καὶ Ἱερομάρτυρος Χαραλάμπους· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Παύλου, τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου, τοῦ ἁγίου ἐνδόξου ὁσιομάρτυρος Παχωμίου· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ ἁγίου - τῆς ἡμέρας -, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν), καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι, καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

*Εἶτα ὁ προεστὼς λέγει·*

Πρόσδεξαι Κύριε τὴν δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλέησον ἡμᾶς.

*Ἕτερος λέγει·*

Γένοιτο Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Αἰωνία ἡ μνήμη τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης.

Αἰωνία ἡ μνήμη αὐτῶν.

*Ὁ ἱερεὺς ἐπιλέγων τό·*

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς.
Ἀμήν.

*Εἰ δέ ἐστιν Ἀγρυπνία, μετὰ τό,* **Εἴη τὸ κράτος ...** *, φορεῖ ἐπανωκαλύμαυχον, καὶ αἴρει τὸ θυμιατόν, καὶ θυμιᾷ τὴν εἰκόνα τοῦ ἁγίου, καὶ ἀφοῦ θυμιάσῃ αἴρει αὐτὴν καὶ ἀπέρχεται εἰς τὴν λιτήν, προπορευομένων τῶν ψαλτῶν μετὰ λαμπάδων, καὶ ἀφοῦ θέσῃ τὴν εἰκόνα εἰς τὸ ἡτοιμασμένον μέρος, θυμιᾷ γύρωθεν τὴν εἰκόνα καὶ ὅλον τὸν λαόν, καὶ ἀφοῦ θυμιάσῃ ἵσταται εἰς τὸ στασίδιον· Ὅταν δὲ τελειώσουν οἱ ψάλται τὰ τροπάρια, λέγει μεγαλοφώνως.*

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, ἐπίσκεψαι τὸν κόσμον Σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς πανα-

χράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· τῇ Χάριτι τῶν Παντίμων Δώρων χρυσοῦ, λιβάνου καὶ σμύρνης, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν μεγάλων διδασκάλων καὶ ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, Διονυσίου Αἰγίνης καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων, Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου, καὶ Ἱερομάρτυρος Χαραλάμπους· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Παύλου, τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου, τοῦ ἁγίου ἐνδόξου ὁσιομάρτυρος Παχωμίου· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακείμ καὶ Ἄννης· (τοῦ ἁγίου τῆς ἡμέρας -, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν), καὶ Πάντων Σου τῶν Ἁγίων· ἱκετεύομεν Σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων Σου, καὶ ἐλέησον ἡμᾶς.

*Κύριε, ἐλέησον. μ´ καὶ γ´.*

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

*Κύριε, ἐλέησον. γ´.*

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

*Κύριε, ἐλέησον. γ´.*

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (τοῦ δεῖνος) Ἱερομονάχου, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, καὶ ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν θλιβομένων τε καὶ καταπονουμένων, ἐλέους Θεοῦ καὶ βοηθείας ἐπιδεομένων· σκέπης τῆς ἁγίας Μονῆς ταύτης, καὶ τῶν ἐνασκουμένων ἐν αὐτῇ· εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου· εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν. Σωτηρίας καὶ βοηθείας τῶν μετὰ σπουδῆς καὶ φόβου Θεοῦ, κοπιόντων καὶ διακονούντων πατέρων καὶ ἀδελφῶν ἡμῶν· ὑπὲρ τῶν ἀπολειφθέντων, καὶ τῶν ἐν ἀποδημίαις ὄντων· ἰάσεως τῶν ἐν ἀσθενίαις κατακειμένων. Ὑπὲρ ἀνέσεως μακαρίας μνήμης, καὶ ἀφέσεως ἁμαρτιῶν, πάντων τῶν προαπελθόντων πατέρων καὶ ἀδελφῶν ἡμῶν· τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ Ὀρθοδόξων. Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων, καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων, καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ Μονῇ ταύτῃ εἴπωμεν.

*Κύριε, ἐλέησον. μ´ καὶ γ´.*

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ᾿ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας Αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν, φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

*Ὁ Ἱερεὺς*

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς· ἐλεήμον γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Εἶτα λέγει·* **Ε**ἰρήνη πᾶσι.

*Ὁ Διάκονος*

**Τ**ὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

*Καὶ πάντων κλινάντων τὰς κεφαλάς, καὶ ἐπὶ γῆς κεκυφότων, ἐπεύχεται ὁ Ἱερεὺς μεγαλοφώνως*

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· τῇ Χάριτι τῶν Παντίμων Δώρων χρυσοῦ, λιβάνου καὶ σμύρνης, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν μεγάλων διδασκάλων καὶ ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, Διονυσίου Αἰγίνης καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων, Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου, καὶ ἱερομάρτυρος Χαραλάμπους· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Παύλου, τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου, τοῦ ἁγίου ἐνδόξου ὁσιομάρτυρος Παχωμίου· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ ἁγίου - τῆς ἡμέρας -, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν), καὶ Πάντων Σου τῶν Ἁγίων·

Εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν·

Δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν·
Σκέπασον ἡμᾶς ἐν τῇ σκεπῃ τῶν πτερύγων Σου·
Ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρόν καὶ πολέμιον·
Εἰρήνευσον ἡμῶν τὴν ζωήν.
Κύριε, ἐλέησον ἡμᾶς, καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἄγαθός καὶ φιλάνθρωπος.



*Πληρωθείσης δὲ τῆς Εὐχῆς, ψάλλεται παρὰ τῶν χορῶν τὸ Θεοτοκίον. Ὁ δὲ Διάκονος θυμιᾷ κύκλωθεν τοὺς πέντε ἄρτους. Εἶτα μετὰ τοῦ Ἱερέως ἵσταται κατ᾽ ἀνατολὰς ἔμπροσθεν τῶν πέντε ἄρτων, καὶ λέγει·*

Τοῦ Κυρίου δεηθῶμεν.

*Καὶ ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην μεγαλοφώνως*

Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε Ἄρτους ἐν τῇ ἐρήμῳ, καὶ ἐξ αὐτῶν πεντακισχιλίους ἄνδρας χορτάσας· αὐτὸς εὐλόγησον καὶ τοὺς Ἄρτους τούτους· τὸν σῖτον, τὸν οἶνον, καὶ τὸ ἔλαιον· καὶ πλήθυνον αὐτὰ ἐν τῇ ἁγίᾳ Μονῇ ταύτῃ, καὶ εἰς τὸν κόσμον σου ἅπαντα, καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστοὺς δούλους σου ἁγίασον. Ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Εἶτα ὁ ἀναγνώστης τά·* Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ· ἕως οὐκ ἐλαττωθήσεται παντὸς ἀγαθοῦ.

*Καὶ μετὰ τὸ,* Πλούσιοι ἐπτώχευσαν, *λέγει ὁ Διάκονος*

Τοῦ Κυρίου δεηθῶμεν.

*Καὶ ὁ Ἱερεὺς ἐκφώνως*

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης λέγει τὸν πρόλογον τῆς ἀναγνώσεως τοῦ Ἁγίου (Δεῖνος).*

*Ὁ Ἱερεύς·*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ ἀναγνώστης ἐξακολουθεῖ τὴν ἀνάγνωσιν, καὶ ἀφοῦ τελειώσῃ, ὁ προεστὼς λέγει τὸν ἑξάψαλμον, καὶ ἡ ἀκολουθία τοῦ ὄρθρου ὡς εἴθισται. Ὁ δὲ ἱερεὺς ἀναγινώσκει τὰς εὐχὰς τοῦ ὄρθρου.*

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΕΣΟΝΥΚΤΙΚΟΥ

*Ἵσταται ὁ Ἱερεὺς ἔμπροσθεν τῆς πύλης τῆς λιτῆς, καὶ στὰς πρὸς ἀνατολὰς ποιεῖ τὸ σημεῖον τοῦ σταυροῦ τρὶς καὶ ἐκφωνεῖ·*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης λέγει·* Ἀμήν.

*Ὁ Ἱερεύς·*

Δόξα σοι ὁ Θεὸς ἡμῶν Δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

*Ὁ Ἀναγνώστης λέγει·*

*Τὸ Τρισάγιον Πάτερ ἡμῶν ...*

*Ὁ Ἱερεύς·* Ὅτι σοῦ ἐστιν ἡ Βασιλεῖα ...

*Ὁ Ἀναγνώστης τὸ Μεσονυκτικόν.*

*Εἰς τὸ τέλος, ὁ Ἱερεὺς πρὸ τῆς πύλης τῆς λιτῆς (Τὴν δὲ Κυριακὴν εἰς τὸ τέλος τοῦ Μεσονυκτικοῦ, ποιεῖ τὴν Μικράν Ἀπόλυσιν καὶ τὰ Εὐξώμεθα ὑπὲρ ...)*

Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθόν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδᾶσαι πᾶσαν ὀργήν καὶ νόσον τὴν καθ᾽ ἡμῶν κινουμένην, καὶ ρύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας Αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν, φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἀναγνώστης*

Δόξα **Κ**αὶ νῦν, **Κ**ύριε, ἐλέησον γ. **Ε**ὐλόγησον.

*Καὶ ὁ Ἱερεὺς ποιεῖ τὴν Μικράν* Ἀπόλυσιν. *Εἶτα στραφεὶς πρὸς Ἀνατολὰς ἐπεύχεται* λέγων·

**Ε**ὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

**Ὑ**πὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

**Ὑ**πὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

**Ὑ**πὲρ τοῦ Πατρὸς ἡμῶν (τοῦ δεῖνος) Ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Ὑ**πὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

**Ὑ**πὲρ τῶν διακονούντων καὶ διακονησάντων ἡμῖν.

**Ὑ**πὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς.

**Ὑ**πὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.

**Ὑ**πὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων.

**Ὑ**πὲρ τῶν ἐν θαλάσσῃ καλῶς πλεόντων.

**Ὑ**πὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

**Ε**ὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

**Κ**αὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

*Ἐπιλέγει δὲ τό·*

**Δ**ι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, ...

*Καὶ ἄρχεται ὁ Ὄρθρος.*

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ

*Μετὰ τὴν ἀπόλυσιν τοῦ Μεσονυκτικοῦ, εἰσελθὼν ὁ Ἱερεὺς ἐν τῷ Ἁγίῳ Βήματι προσκυνήσας τὴν Ἁγίαν Τράπεζαν, καὶ βαλὼν Ἐπιτραχήλιον, ἐκφωνεῖ·*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ ἀναγνώστης·* Ἀμήν.

Δεῦτε προσκυνήσωμεν ... *γ΄.*

*Καὶ τοὺς ψαλμοὺς ΙΘ΄. καὶ Κ΄.*

*εἶτα τὸ* Τρισάγιον, *μετὰ δὲ τὸ* Πάτερ ἡμῶν,

*Ὁ Ἱερεὺς ἐκφώνως·*

Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Εἶτα τὰ Τροπάρια·* **Σῶσον Κύριε τὸν λαόν σου,** *κτλ.*

*Μεθ᾽ ἃ ὁ Ἱερεὺς λέγει·*

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Καὶ εὐθὺς ἐκφωνεῖ·*

Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Καὶ λέγεται ὁ Ἑξάψαλμος, οὗ λεγομένου, ὁ Ἱερεὺς ἀναγινώσκει τὰς Εὐχὰς τοῦ Ὄρθρου·*

## ΕΥΧΗ Α΄.

Εὐχαριστοῦμέν σοι Κύριε, ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἐμβάλλοντι εἰς τὸ στόμα ἡμῶν λόγον αἰνέσεως, τοῦ προσκυνεῖν καὶ ἐπικαλεῖσθαι τὸ Ὄνομά σου τὸ ἅγιον· καὶ δεόμεθα τοῖς σοῖς οἰκτιρμοῖς, οἷς πάντοτε ἐχρήσω περὶ τὴν ἡμετέραν ζωήν. Καὶ νῦν ἐξαπόστειλον τὴν βοήθειάν σου ἐπὶ τοὺς ἑστῶτας πρὸ προσώπου τῆς ἁγίας δόξης σου, καὶ ἀπεκδεχομένους τὸ παρὰ σοῦ πλούσιον ἔλεος καὶ δὸς αὐτοῖς μετὰ φόβου καὶ ἀγάπης πάντοτέ σοι λατρεύειν, αἰνεῖν, ὑμνεῖν, προσκυνεῖν τὴν ἀνεκδιήγητόν σου ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Β΄.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεὸς ἡμῶν, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς· δικαιοσύνην καὶ ἁγιασμὸν ἐπιτελεῖν ἐν τῷ φόβῳ σου, συνέτισον ἡμᾶς· σὲ γὰρ δοξάζομεν τὸν ὄντως ὄντα Θεὸν ἡμῶν· κλῖνον τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν· καὶ μνήσθητι, Κύριε, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν

πάντων κατ᾽ ὄνομα, καὶ σῶσον αὐτοὺς τῇ δυνάμει σου· εὐλόγησον τὸν λαόν σου, καὶ ἁγίασον τὴν κληρονομίαν σου· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς Ἱερεῦσι, τοῖς Βασιλεῦσιν ἡμῶν, καὶ παντὶ τῷ λαῷ σου· Ὅτι εὐλόγηται, καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Γ΄.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεὸς, διότι φῶς τὰ προστάγματά σου. Δίδαξον ἡμᾶς, ὁ Θεός, τὴν δικαιοσύνην σου, τὰς ἐντολάς σου, καὶ τὰ δικαιώματά σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν, μήποτε ὑπνώσωμεν ἐν ἁμαρτίαις εἰς θάνατον· ἀπέλασον πάντα ζόφον ἀπὸ τῶν καρδιῶν ἡμῶν· χάρισαι ἡμῖν τὸν τῆς δικαιοσύνης Ἥλιον, καὶ ἀνεπηρέαστον τὴν ζωὴν ἡμῶν διαφύλαξον ἐν τῇ σφραγῖδι τοῦ Ἁγίου σου Πνεύματος· κατεύθυνον τὰ διαβήματα ἡμῶν εἰς ὁδὸν εἰρήνης· δὸς ἡμῖν τὸν ὄρθρον καὶ τὴν ἡμέραν ἐν ἀγαλλιάσει, ἵνα σοί τὰς ἑωθινὰς ἀναπέμπωμεν εὐχάς. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Δ΄.

Δέσποτα ὁ Θεὸς, ὁ ἅγιος καὶ ἀκατάληπτος, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὁ ἀναπαύσας

ἡμᾶς ἐν τῷ τῆς νυκτὸς ὕπνῳ, καὶ διαναστήσας πρὸς δοξολογίαν καὶ ἱκεσίαν τῆς σῆς ἀγαθότητος, δυσωπούμενος ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας, πρόσδεξαι ἡμᾶς καὶ νῦν προσκυνοῦντάς σε καὶ κατὰ δύναμιν εὐχαριστοῦντάς σοι· καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. Ἀνάδειξον ἡμᾶς υἱοὺς φωτὸς καὶ ἡμέρας, καὶ κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν. Μνήσθητι, Κύριε, ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου, καὶ παντὸς τοῦ λαοῦ σου, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου, δεομένων τῆς σῆς φιλανθρωπίας καὶ βοηθείας, καὶ πᾶσι χορήγησον τὸ μέγα σου ἔλεος. Ἵνα, σεσωσμένοι ψυχῇ τε καὶ σώματι πάντοτε διαμένοντες, μετὰ παῤῥησίας δοξάζωμεν τὸ θαυμαστὸν καὶ εὐλογημένον ὄνομά σου τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Ε΄.

Ἀγαθῶν θησαυρέ, πηγὴ ἀέναος, Πάτερ ἅγιε, θαυματοποιέ, παντοδύναμε, καὶ παντοκράτορ, πάντες σὲ προσκυνοῦμεν, καὶ σοῦ δεόμεθα, τὰ σὰ ἐλέη καὶ τοὺς σοὺς οἰκτιρμοὺς ἐπικαλούμενοι, εἰς βοήθειαν, καὶ ἀντίληψιν τῆς ἡμετέρας ταπεινώσεως. Μνήσθητι, Κύριε, τῶν σῶν ἱκετῶν· πρόσδεξαι πάντων ἡμῶν τὰς ἑωθινὰς δεήσεις, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μηδένα ἡμῶν ἀδόκιμον ποιήσῃς, ἀλλὰ πάντας ἡμᾶς περιποίησαι διὰ τῶν

οἰκτιρμῶν σου. Μνήσθητι, Κύριε, τῶν ἀγρυπνούντων, καὶ ψαλλόντων εἰς δόξαν σήν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, καὶ τοῦ Ἁγίου σου Πνεύματος. Γενοῦ αὐτῶν βοηθὸς καὶ ἀντιλήπτωρ· πρόσδεξαι αὐτῶν τὰς ἱκεσίας εἰς τὸ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΣΤ΄.

Εὐχαριστοῦμέν σοι Κύριε, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὅτι πάντα ποιεῖς εἰς εὐεργεσίαν τῆς ζωῆς ἡμῶν, ἵνα διαπαντὸς πρὸς σὲ ἀποβλέπωμεν, τὸν σωτῆρα καὶ εὐεργέτην τῶν ἡμετέρων ψυχῶν· ὅτι διανέπαυσας ἡμᾶς ἐν τῷ παρελθόντι τῆς νυκτὸς μέτρῳ, καὶ ἐξήγειρας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἔστησας εἰς προσκύνησιν τοῦ τιμίου Ὀνόματός σου. Διὸ δεόμεθά σου, Κύριε, δὸς ἡμῖν χάριν καὶ δύναμιν, ἵνα καταξιωθῶμεν ψάλλειν σοι συνετῶς, καὶ προσεύχεσθαι ἀδιαλείπτως, ἐν φόβῳ καὶ τρόμῳ τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι, διὰ τῆς ἀντιλήψεως τοῦ Χριστοῦ σου. Μνήσθητι, Κύριε, καὶ τῶν ἐν νυκτὶ πρὸς σὲ βοώντων· ἐπάκουσον αὐτῶν, καὶ ἐλέησον, καὶ σύντριψον ὑπὸ τοὺς πόδας αὐτῶν τοὺς ἀοράτους καὶ πολεμίους ἐχθρούς. Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ

τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Ζ΄.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἐπισυναγαγὼν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς, δὸς ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, καὶ πρόσδεξαι ἡμῶν τὰς κατὰ δύναμιν εὐχαριστίας· καὶ δίδαξον ἡμᾶς τὰ δικαιώματά σου, ὅτι προσεύξασθαι καθ᾽ ὃ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ σὺ Κύριε, τῷ Πνεύματί σου τῷ Ἁγίῳ ὁδηγήσῃς ἡμᾶς. Διὸ δεόμεθά σου, εἴτι ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, ἑκουσίως, ἢ ἀκουσίως, ἄνες, ἄφες, συγχώρησον· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ἡ ἀπολύτρωσις· σὺ εἶ μόνος ἅγιος, βοηθός, κραταιὸς ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, καὶ ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διαπαντός. Εἴη τὸ κράτος τῆς Βασιλείας σου εὐλογημένον, καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Η΄.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν τοῦ ὕπνου ῥαθυμίαν ἀποσκεδάσας ἀφ᾽ ἡμῶν, καὶ συγκαλέσας ἡμᾶς κλήσει ἁγίᾳ, τοῦ καὶ ἐν νυκτὶ ἐπᾶραι τὰς χεῖρας ἡμῶν, καὶ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, πρόσδεξαι τὰς δεήσεις ἡμῶν, τὰς ἐντεύξεις, τὰς ἐξομολογήσεις, τὰς

νυκτερινὰς λατρείας· καὶ χάρισαι ἡμῖν ὁ Θεὸς πίστιν ἀκαταίσχυντον, ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον. Εὐλόγησον ἡμῶν εἰσόδους καὶ ἐξόδους, πράξεις, ἔργα, λόγους, ἐνθυμήσεις· καὶ δὸς ἡμῖν καταντῆσαι εἰς τὰς ἀρχὰς τῆς ἡμέρας, αἰνοῦντας, ὑμνοῦντας, εὐλογοῦντας τῆς σῆς ἀφράστου χρηστότητος τὴν ἀγαθότητα. Ὅτι ηὐλόγηται τὸ πανάγιόν σου Ὄνομα, καὶ δεδόξασταί σου ἡ Βασιλεία, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Θ΄.

Λάμψον, Δέσποτα φιλάνθρωπε, ἐν ταῖς καρδίαις ἡμῶν τὸ τῆς σῆς θεογνωσίας φῶς ἀκήρατον, καὶ τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμοὺς διάνοιξον, εἰς τὴν τῶν Εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα πάσας τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Ι΄.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος, καὶ τύπον ἡμῖν ἐπιγνώσεως ἁμαρτημάτων καὶ ἐξομολογήσεως, τὴν τοῦ Προφήτου Δαυῒδ μετάνοιαν, πρὸς

συγχώρησιν ὑποδείξας· αὐτὸς Δέσποτα, πολλοῖς ἡμᾶς καὶ μεγάλοις περιπεπτωκότας πλημμελήμασιν, ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν· ὅτι σοὶ ἡμάρτομεν, Κύριε, τῷ καὶ τὰ ἄδηλα καὶ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι, καὶ μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Καρδίαν δὲ καθαρὰν κτίσας ἐν ἡμῖν, καὶ πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς, καὶ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου γνωρίσας ἡμῖν, μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου· ἀλλ' εὐδόκησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, προσφέρειν σοι θυσίαν δικαιοσύνης, καὶ ἀναφορὰν ἐν τοῖς ἁγίοις σου θυσιαστηρίοις. Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΙΑ΄.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι, σοῦ δεόμεθα, καὶ σὲ ἱκετεύομεν· Πρόσδεξαι ἡμῶν μετὰ τῶν κτισμάτων σου πάντων, τὴν κατὰ δύναμιν δοξολογίαν, καὶ ταῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς· ὅτι σοὶ κάμπτει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖ τὴν ἀκατάληπτόν σου δόξαν· μόνος γὰρ εἶ Θεὸς ἀληθινὸς καὶ πολυέλεος. Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ

Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΙΒ΄.

Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν, καὶ εὐχαριστοῦμέν σοι, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτὸς, καὶ ἔδειξας ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας· ἀλλ᾽ ἱκετεύομεν τὴν σὴν ἀγαθότητα· Ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ, ὅτι πρὸς σὲ καταφεύγομεν, τὸν ἐλεήμονα καὶ παντοδύναμον Θεὸν. Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν Ἥλιον τῆς δικαιοσύνης σου· φώτισον τὸν νοῦν ἡμῶν, καὶ τὰς αἰσθήσεις ὅλας διατήρησον, ἵνα ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατοῦντες τὴν ὁδὸν τῶν ἐντολῶν σου, καταντήσωμεν εἰς τὴν ζωὴν τὴν αἰώνιον· ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς· καὶ ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα λέγει τὴν μεγάλη Συναπτήν·*

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, καὶ τοῦ φιλοχρίστου στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ἐκφώνως*

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Μετὰ τὴν Ἐκφώνησιν, ψάλλεται τό,* Θεὸς *Κύριος, κτλ.*

*Καὶ μετὰ τὴν α΄. Στιχολογίαν, ποιεῖ ὁ Ἱερεὺς μικρὰν Συναπτήν·*

**Ἔ**τι, καὶ ἔτι. ... **Ἀ**ντιλαβοῦ, σῶσον ... **Τ**ῆς Παναγίας ἀχράντου, ... *κτλ.*

*Ὁ Ἱερεὺς ἐκφώνως*

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Μετὰ τὴν β΄. στιχολογίαν, αὖθις τὴν μικρὰν Συναπτήν·*

**Ἔ**τι, καὶ ἔτι. ... **Ἀ**ντιλαβοῦ, σῶσον ... **Τ**ῆς Παναγίας ἀχράντου, ... *κτλ.*

*Ἐκφώνως*

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Μετὰ δὲ τὸν Ἄμωμον, καὶ τὰ Εὐλογητάρια, πάλιν τὴν μικρὰν Συναπτήν·*

Ἔτι, καὶ ἔτι. ... Ἀντιλαβοῦ, σῶσον ... Τῆς Παναγίας ἀχράντου, ... *κτλ.*

*Ἐκφώνως*

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ Βασιλεία, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Μετὰ δὲ τοὺς ἀναβαθμούς, καὶ τὸ Προκείμενον.*

*Ὁ Διάκονος* Τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ Ἱερεύς*

Ὅτι Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν Ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Τὸ Πᾶσα πνοὴ μεθ᾽ ὅ, ὁ Διάκονος*

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

*Ὁ Ἱερεύς·* **Ε**ἰρήνη πᾶσι.

**Ἐ**κ τοῦ κατὰ (δεῖνα) ) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

*Ὁ Διάκονος·* **Π**ρόσχωμεν.

*Καὶ ὁ Ἱερεὺς λέγει τὸ Εὐαγγέλιον*

*Μετὰ δὲ τὸν Ν΄ ψαλμόν.*

*Ὁ Διάκονος·*

**Σ**ῶσον, ὁ Θεός, τὸν λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, ἐπίσκεψαι τὸν κόσμον Σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· τῇ Χάριτι τῶν Παντίμων Δώρων χρυσοῦ, λιβάνου καὶ σμύρνης, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν μεγάλων διδασκάλων καὶ ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, Διονυσίου Αἰγίνης καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων, Γεωργίου τοῦ Τροπαιο-

φόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου, καὶ Ἱερομάρτυρος Χαραλάμπους· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Παύλου, τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου, τοῦ ἁγίου ἐνδόξου ὁσιομάρτυρος Παχωμίου· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ ἁγίου τῆς ἡμέρας -, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν), καὶ Πάντων Σου τῶν Ἁγίων· ἱκετεύομεν Σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων Σου, καὶ ἐλέησον ἡμᾶς.

*Εἶτα λέγει ὁ Ἱερεὺς ἐκφώνως·*

Ελέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Καὶ ἄρχονται οἱ Κανόνες, μετὰ δὲ τὴν γ΄. ᾠδήν, ποιεῖ ὁ Ἱερεὺς τὴν μικρὰν Συναπτήν·*

Ἔτι, καὶ ἔτι. ... Ἀντιλαβοῦ, σῶσον ... Τῆς Παναγίας ἀχράντου, ... *κτλ.*

*Ἐκφώνως·*

Οτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Μετὰ δὲ τὴν στ´ ᾠδήν, ποιεῖ ὁ Ἱερεὺς τὴν μικρὰν Συναπτήν·*

**Ἔ**τι, καὶ ἔτι. ... **Ἀ**ντιλαβοῦ, σῶσον ... **Τ**ῆς Παναγίας ἀχράντου, ... *κτλ.*

*Ἐκφώνως*

**Σ**ὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Τῆς δὲ η´ ᾠδῆς πληρωθείσης, ἐκφωνεῖ ὁ Διάκονος·*

**Τ**ὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτὸς, ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

*Μετὰ δὲ τὴν θ´ ᾠδήν, τὴν μικρὰν Συναπτήν·*

**Ἔ**τι, καὶ ἔτι. ... **Ἀ**ντιλαβοῦ, σῶσον ... **Τ**ῆς Παναγίας ἀχράντου, ... *κτλ.*

*Ἐκφώνως*

**Ὅ**τι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν Οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Καὶ ψάλλονται τὰ Ἐξαποστειλάρια, οἱ Αἶνοι καὶ ἡ Δοξολογία, μεθ' ἣν τὸ σύνηθες Τροπάριον, καὶ μετ' αὐτὸ ὁ Διάκονος λέγει τὴν Ἐκτενῆ·*

**Ἐ**λέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

**Ἔ**τι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

**Ἔ**τι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

**Ἔ**τι δεόμεθα ὑπὲρ τοῦ Πατρός ἡμῶν (τοῦ δεῖνος) Ἱερομονάχου, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Ἔ**τι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

*ὅταν ὑπάρχουν ὀνόματα δία μνημόσυνον*

**Ἔ**τι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως (τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων τοῦ Θεοῦ ......) καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι (αὐτοῖς) πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

*καὶ συνεχίζομεν*

**Ἔ**τι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, συγχωρήσεως, ἐπισκέψεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν, τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν

κατοικούντων καὶ ἐνασκουμένων ἐν τῷ Ἁγιωνύμῳ Ὄρει τούτῳ

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν ταῖς διακονίαις ὄντων, καὶ πάντων τῶν ἐλεούντων, διακονούντων καὶ διακονησάντων, ἐν τῇ Ἁγίᾳ Μονῇ ταύτῃ.

*Ὁ Ἱερεὺς ἐκφώνως*

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Διάκονος*

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ Ἱερεὺς ἐκφώνως*

Ὅτι Θεός, ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Ἱερεύς* Εἰρήνη πᾶσι.

*Ὁ Διάκονος*

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

*Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς·*

Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ δεόμεθά σου Ἅγιε Ἁγίων. Ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴ τι ἡμάρτομεν ἑκουσίως, ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φι-

λάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια καὶ ὑπερκόσμια ἀγαθά σου.

*Ἐκφώνως*

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν, καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Εἶτα ὁ Διάκονος* Σοφία

*Ὁ Ἱερεύς*

Ὁ ὢν εὐλογητὸς Χριστὸς, ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ προεστὼς λέγει·*

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν, τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ μονῇ ταύτῃ εἰς αἰῶνα αἰῶνος.

*Ὁ ἀναγνώστης λέγει·*

Τὴν τιμιωτέραν... Δόξα ... Καὶ νῦν ...

Κύριε ἐλέησον. γ΄.

Εὐλόγησον.

*Λέγοντος αὐτά, Ὁ ἱερεὺς κάμνει σχῆμα πρὸς τὴν εἰκόνα τῆς Θεοτόκου καὶ λέγει μυστικῶς.*

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

*Λέγων δὲ Δόξα πατρὶ ... κάμνει σχῆμα πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ καὶ λέγει πάλιν μυστικῶς.*

Δόξα σοι Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

*Καὶ εὐθὺς τὴν μεγάλην Ἀπόλυσιν οὕτως·*

**Ο** Ἀναστὰς ἐκ νεκρῶν (εἰ δὲ μή), **Χ**ριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου Ἁγίας αὐτοῦ Μητρός, Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· τῇ Χάριτι τῶν Παντίμων Δώρων χρυσοῦ, λιβάνου καὶ σμύρνης, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν Μεγάλων Διδασκάλων καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, Διονυσίου Αἰγίνης καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων, Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου, καὶ Ἱερομάρτυρος Χαραλάμπους· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Παύλου, τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου, τοῦ ἁγίου ἐνδόξου ὁσιομάρτυρος Παχωμίου· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ ἁγίου - τῆς ἡμέρας -, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν), καὶ

πάντων τῶν Ἁγίων, ἐλεῆσαι, καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

*Ἐὰν εἶναι Ἅγιος ἑορταζόμενος καὶ εἰς τοὺς Αἴνους ἐψάλλομεν τὸ δοξαστικὸν τοῦ Ἁγίου· Ὁ ἀναγνώστης λέγει εὐθὺς τό·*

**Δ**εῦτε προσκυνήσομεν ... *γ΄. καὶ τὴν α΄. ὥραν.*

*Μετὰ δὲ τὸ -* **Χ**ριστὲ τὸ φῶς· *καὶ τὸ -* **Τ**ῇ ὑπερμάχῳ·

**Δ**όξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
**Ἀ**μήν.

**Κ**ύριε, ἐλέησον. **Κ**ύριε, ἐλέησον. **Κ**ύριε, ἐλέησον.
**Ε**ὐλόγησον.

*Καὶ ὁ Ἱερεὺς ποιεῖ τὴν ἀπόλυσιν οὕτως*

**Ὁ** Ἀναστὰς ἐκ νεκρῶν (εἰ δὲ μή), **Χ**ριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου Ἁγίας αὐτοῦ Μητρός, τῇ Χάριτι τῶν Παντίμων Δώρων χρυσοῦ, λιβάνου καὶ σμύρνης, τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Παύλου, τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου, τοῦ ἁγίου ἐνδόξου ὁσιομάρτυρος Παχωμίου· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ ἁγίου - τῆς ἡμέρας -, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν), καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι,

καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

*Εἶτα ὁ προεστὼς λέγει·*

Πρόσδεξαι Κύριε τὴν δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλέησον ἡμᾶς.

*Ἕτερος λέγει·*

Γένοιτο Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Αἰωνία ἡ μνήμη τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης.

Αἰωνία ἡ μνήμη αὐτῶν.

*Ὁ ἱερεὺς ἐπιλέγων τὸ*

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.
Ἀμήν.

\+ ------ + ------ +

# ΜΝΗΜΟΝΕΥΣΙΣ ΕΙΣ ΤΑ ΨΥΧΟΣΑΒΒΑΤΑ

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης, αἰωνίου ἀναπαύσεως τῶν ψυχῶν τῶν κοιμηθέντων δούλων Σου, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, Βασιλέων, Πατριαρχῶν, Ἀρχιερέων, Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων, Μοναχῶν, Μοναζουσῶν καὶ πάντων τῶν προπατόρων, πάππων προπάππων, γονέων προγονέων, ἀδελφῶν καὶ συγγενῶν, τῶν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν ἐρήμοις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ἐν παντὶ τόπῳ τελειωθέντων, τῶν ἀπ᾽ ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων ὧν Σὺ Κύριε, γινώσκεις τὰ ὀνόματα αὐτῶν, καὶ ὑπέρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν τάξῃ τὰς ψυχὰς αὐτῶν, ἔνθα οἱ δίκαιοι ἀναπαύονται, τὰ ἐλέη τοῦ Θεοῦ, τὴν Βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν ἑαυτῶν ἁμαρτιῶν, παρά Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν, αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δέ διάβολον καταργήσας καὶ ζωὴν τῷ κόσμῳ Σου δωρησάμενος. Αὐτὸς Κύριε, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν προκοιμηθέντων δούλων Σου πάντων τῶν εὐσε-

βῶν καὶ ὀρθοδόξων χριστιανῶν, Βασιλέων, Πατριαρχῶν, Ἀρχιερέων, Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων, Μοναχῶν, Μοναζουσῶν καὶ πάντων τῶν προπατόρων, πάππων προπάππων, γονέων προγονέων, ἀδελφῶν καὶ συγγενῶν, τῶν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν ἐρήμοις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ἐν παντὶ τόπῳ τελειωθέντων, τῶν ἀπ᾽ ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων ὧν Σὺ Κύριε, γινώσκεις τὰ ὀνόματα αὐτῶν, καὶ τάξον αὐτὰς ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός. Πᾶν ἁμάρτημα τὸ παρ᾽ αὐτῶν πραχθὲν ἐν λόγῳ, ἤ ἔργῳ, ἤ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὅς ζήσεται ἐπί τῆς γῆς καὶ οὐχ ἁμαρτήσει. Σὺ γὰρ Κύριε μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις. Ἡ δικαιοσύνη Σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος Σου ἀλήθεια.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὅτι Σύ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τῶν ἀπ᾽ αἰῶνος κοιμηθέντων δούλων Σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ Σου Πατρί, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ Ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Εὐλόγησον.

Καὶ ὁ Ἱερεὺς ποιεῖ τὴν ἀπόλυσιν·

Ο καὶ νεκρῶν καὶ ζώντων τὴν ἐξουσίαν ἔχων, ὡς ἀθάνατος Βασιλεύς, καὶ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων ἐνδόξων προπατόρων, Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ· τοῦ ἁγίου καὶ δικαίου τετραημέρου φίλου Αὐτοῦ Λαζάρου, καὶ πάντων τῶν ἁγίων· καὶ τὰς ψυχὰς τῶν ἐξ ἡμῶν μεταστάντων δούλων Αὐτοῦ, ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραάμ ἀναπαῦσαι, καὶ μετὰ ἁγίων καὶ δικαίων συναριθμῆσαι, ἡμᾶς δε ἐλεῆσαι καὶ σῶσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἐλεήμων Θεός.

Αἰωνία ἡ μνήμη ὑμῶν ἀξιομακάριστοι καὶ ἀείμνηστοι ἀδελφοὶ ἡμῶν (ἐκ γ΄.)

Καὶ ὁ Ἱερεύς τὸ·

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς.

Ἀμήν.

+ ------ + ------ +

## ΑΠΟΛΥΤΙΚΙΑ ΑΝΑΣΤΑΣΙΜΑ

### Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι Ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

### Ἦχος β΄.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴν ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας, ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

### Ἦχος γ΄.

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας Ἅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Ἦχος δ΄.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι, αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι

ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

### Ἦχος πλ. β΄.

Ἀγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες, ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα, τὸ ἄχραντόν σου σῶμα. Ἐσκύλευσας τὸν Ἅδην, μὴ πειρασθεὶς ὑπ᾽ αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε, δόξα σοι.

### Ἦχος βαρύς.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ λῃστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον, μετέβαλες· καὶ τοῖς Σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας· ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Ἦχος πλ. δ΄.

Ἐξ ὕψους κατῆλθες ὁ Εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν· ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, Κύριε δόξα σοι.

# ΑΠΟΛΥΣΕΙΣ ΔΕΣΠΟΤΙΚΩΝ ΕΟΡΤΩΝ

## Εἰς τὴν Χριστοῦ Γέννησιν.

Ὁ ἐν σπηλαίῳ γεννηθείς, καὶ ἐν φάτνῃ ἀνακλιθείς, διὰ τὴν ἡμῶν σωτηρίαν.

## Εἰς τὴν Περιτομήν.

Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρα σαρκὶ περιτμηθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

## Εἰς τὰ ἅγια Θεοφάνεια.

Ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

## Εἰς τὴν Ὑπαπαντήν.

Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

## Εἰς τὴν Κυριακὴν τῶν Βαΐων.

Ὁ ἐπὶ πώλου ὄνου καθεσθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

## Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας, μέχρι τῆς Μεγάλης Τετάρτης.

Ἐρχόμενος ὁ Κύριος πρὸς τὸ ἑκούσιον Πάθος, διὰ τὴν ἡμῶν σωτηρίαν.

## Τῇ ἁγίᾳ Μεγάλῃ Πέμπτῃ.

Ὁ δι' ὑπερβάλλουσαν ἀγαθότητα ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας, ἐν τῷ νίψαι τοὺς πόδας τῶν Μαθητῶν, καὶ μέχρι Σταυροῦ καὶ Ταφῆς συγκαταβὰς ἡμῖν.

## Εἰς τὴν Ἀπόλυσιν τῶν ἁγίων Παθῶν.

Ὁ ἐμπτυσμούς, καὶ μάστιγας, καὶ κολαφισμοὺς καὶ Σταυρὸν καὶ θάνατον ὑπομείνας διὰ τὴν τοῦ κόσμου σωτηρίαν.

### Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ.

Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τὰ φρικτὰ Πάθη, καὶ τὸν ζωοποιὸν Σταυρόν, καὶ τὴν ἑκούσιον Ταφὴν σαρκὶ καταδεξάμενος.

### Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, μέχρι τῆς ἀποδόσεως, καὶ ἐν πάσαις ταῖς Κυριακαῖς τοῦ ἔτους.

Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν.

### Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως.

Ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός.

### Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς.

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους Αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους.

### Εἰς τὴν Μεταμόρφωσιν.

Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ, ἐνώπιον τῶν ἁγίων Αὐτοῦ Μαθητῶν καὶ Ἀποστόλων.

## ΕΙΣΟΔΙΚΑ ΔΕΣΠΟΤΙΚΩΝ ΕΟΡΤΩΝ

### Εἰς τὴν Χριστοῦ Γέννησιν.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε· ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται. Σὺ εἶ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

### Εἰς τὰ ἅγια Θεοφάνεια.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

### Εἰς τὴν Ὑπαπαντήν.

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἀναντίον πάντων τῶν ἐθνῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

### Εἰς τὸν Εὐαγγελισμόν.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

### Εἰς τὴν Κυριακὴν τῶν Βαΐων.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

## Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, καὶ καθ' ὅλην τὴν Διακαινήσιμον ἑβδομάδα.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν· Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

## Εἰς τὴν ἁγίαν Ἀνάληψιν.

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ· Κύριος ἐν φωνῇ σάλπιγγος.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

## Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς, καὶ τῇ Δευτέρᾳ τοῦ Ἁγίου Πνεύματος.

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι· Ἀλληλούϊα.

## Εἰς τὴν Μεταμόρφωσιν.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, Κύριε, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

## Εἰς τὴν Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι Ἅγιός ἐστιν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ σταυρωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

**Τροπάρια ἀναγινωσκόμενα ὅταν ὁ Ἱερεὺς σταυρώνει ἀσθενοῦντα διὰ τῆς ἁγίας Λόγχης.**

Σταυρωθέντος σου Χριστέ, ἀνῃρέθη ἡ τυραννίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ Ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος, ἔσωσας ἡμᾶς δόξα σοι.

Δόξα.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου Αἵματι· τῷ Σταυρῷ προσηλωθείς, καὶ τῇ Λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν δόξα σοι.

Καὶ νῦν.

Λόγχῃ πλευράν, ὦ Χριστέ μου, νυγείς σου, τὴν ἐκ πλευρᾶς ἀνθρωπίνης κτισθεῖσαν, ὀλέθρου πᾶσι βροτοῖς γεγονυῖαν πρόξενον, τῆς κατάρας ἠλευθέρωσας.

## ΕΥΧΗ ΕΠΙ ΒΑΣΚΑΝΙΑΝ

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Βασιλεὺς τῶν αἰώνων, ὁ παντοκράτωρ καὶ παντοδύναμος, ὁ ποιῶν πάντα καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι· ὁ τὴν ἑπταπλάσιον κάμινον καὶ τὴν φλόγαν τὴν ἐν Βαβυλῶνι εἰς δρόσον μεταβαλὼν καὶ τοὺς ἁγίους σου τρεῖς Παῖδας σῴους διαφυλάξας· ὁ ἰατρὸς καὶ θεραπευτὴς τῶν ψυχῶν ἡμῶν· ἡ ἀσφάλεια τῶν εἰς σὲ ἐλπιζόντων· σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, ἀπόστησον, φυγάδευσον καὶ ἀπέλασον πᾶσαν διαβολικὴν ἐνέργειαν, πᾶσαν σατανικὴν ἔφοδον καὶ πᾶσαν ἐπιβουλήν, περιέργειάν τε πονηράν καὶ βλάβην καὶ ὀφθαλμῶν βασκανίαν τῶν κακοποιῶν καὶ πονηρῶν ἀνθρώπων ἀπὸ τοῦ δούλου σου (τοῦδε)· καὶ ἢ ὑπὸ ὡραιότητος ἢ ἀνδρείας ἢ εὐτυχίας ἢ ζήλου καὶ φθόνου ἢ βασκανίας συνέβη, αὐτός, φιλάνθρωπε Δέσποτα, ἔκτεινον τὴν κραταιάν σου χεῖρα καὶ τὸν βραχίονά σου τὸν ἰσχυρὸν καὶ ὕψιστον, καὶ ἐπισκοπῶν ἐπισκόπησον τὸ πλάσμα σου τοῦτο, καὶ κατάπεμψον αὐτῷ Ἄγγελον εἰρηνικόν, κραταιόν, ψυχῆς καὶ σώματος φύλακα, ὃς ἐπιτιμήσει καὶ ἀπελάσει ἀπ᾽ αὐτοῦ πᾶσαν πονηρὰν βουλήν, πᾶσαν φαρμακείαν καὶ βασκανίαν τῶν φθοροποιῶν καὶ φθονερῶν ἀνθρώπων, ἵνα ὑπὸ σοῦ ὁ σὸς ἱκέτης φρουρούμενος, μετ᾽ εὐχαριστίας ψάλλῃ σοι· «Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος»· καὶ πάλιν· «Οὐ φοβηθήσομαι

κακά, ὅτι σὺ μετ᾽ ἐμοῦ εἶ· ὅτι σὺ εἶ ὁ Θεός, κραταίωμά μου, ἰσχυρὸς ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος». Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, φεῖσαι τοῦ πλάσματός σου, καὶ σῶσον τὸν δοῦλόν σου ἀπὸ πάσης βλάβης καὶ ἐπηρείας τῆς ἐκ βασκανίας γινομένης, καὶ ἀνώτερον αὐτὸν παντὸς κακοῦ διαφύλαξον· πρεσβείαις τῆς ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν φωτοειδῶν Ἀρχαγγέλων, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

## ΕΠΙ ΕΞΟΜΟΛΟΓΟΥΜΕΝΩΝ

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, Ποιμὴν καὶ Ἀμνέ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ τὸ δάνειον χαρισάμενος τοῖς δισί χρεωφειλέταις, καὶ τῇ ἁμαρτωλῷ δοὺς ἄφεσιν ἁμαρτιῶν αὐτῆς. Αὐτός, Δέσποτα, ἄνες, ἄφες, συγχώρησον τὰς ἁμαρτίας, τὰς ἀνομίας, τὰ πλημμελήματα, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ ἐν παραβάσει καὶ παρακοῇ γενόμενα παρὰ τοῦ δούλου σου (τοῦ δεῖνος). Καὶ εἴ τι, ὡς ἄνθρωπος σάρκα φορῶν, καὶ τὸν κόσμον οἰκῶν, ἐκ τοῦ διαβόλου ἐπλανήθη, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε λόγον ἱερέως κατεπάτησεν, ἢ ὑπὸ κατάραν ἱερέως ἐγένετο, εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν, ἢ ὅρκῳ ὑπήχθησεν. Αὐτός, ὥς ἀγαθὸς καὶ ἀμνησίκακος Δεσπότης, τούτον τὸν δούλον σου λόγῳ λυθῆναι εὐδόκησον, συγχωρῶν αὐτῷ καὶ τὸ ἴδιον ἀνάθεμα, καὶ τὸν ὅρκον, κατὰ τὸ μέγα σου ἔλεος. Ναί, Δέσποτα φιλάνθρωπε Κύριε, ἐπάκουσον ἡμῶν δεομένων τῆς σῆς ἀγαθότητος ὑπὲρ τοῦ δούλου σου τούτου, καὶ πάριδε ὡς πολυέλεος τὰ πταίσματα αὐτοῦ ἅπαντα· ἀπάλλαξον αὐτόν τῆς αἰωνίου κολάσεως· σὺ γὰρ εἶπας, Δέσποτα· «Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ». Ὅτι σὺ εἶ μόνος ἀναμάρτητος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ,

καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ Πόρνῃ διὰ δακρύων ἄφεσιν ἁμαρτιῶν δωρησάμενος, καὶ τὸν Τελώνην τὰ ἴδια ἐπιγνόντα πταίσματα δικαιώσας, πρόσδεξαι τὴν ἐξομολόγησιν τοῦ δούλου σου (δεῖνος) καὶ εἴ τι ἐπλημμέλησεν ἑκούσιον ἢ ἀκούσιον ἁμάρτημα, ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον· Σὺ γὰρ εἶ ὁ μόνος ἐξουσίαν ἔχων ἀφιέναι ἁμαρτίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ Χάρις τοῦ Παναγίου Πνεύματος διὰ τῆς ἐμῆς ἐλαχιστότητος, ἔχοι σε λελυμένον καὶ συγκεχωρημένον

## ΕΠΙ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΒΑΪΑ

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν Χερουβείμ, ὁ ἐξεγείρας τὴν δυναστείαν, καὶ ἀποστείλας τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα σώσῃ τὸν κόσμον διὰ τοῦ Σταυροῦ, τῆς Ταφῆς καὶ τῆς Ἀναστάσεως αὐτοῦ· οὗ παραγενομένου ἐν Ἱερουσαλὴμ ἐπὶ τὸ ἑκούσιον Πάθος, ὁ λαός, ὁ καθήμενος ἐν σκότει καὶ σκιᾷ θανάτου, λαβόντες τὰ τῆς νίκης σύμβολα, τοὺς κλάδους τῶν δένδρων, καὶ τὰ βαΐα τῶν φοινίκων, τὴν Ἀνάστασιν προεμήνυσαν· Αὐτός, Δέσποτα, καὶ ἡμᾶς, τοὺς κατὰ μίμησιν ἐκείνων, τῇ προεορτίῳ ταύτῃ ἡμέρᾳ, βαΐα καὶ κλάδους δένδρων ἐν χερσὶ φέροντας, διατήρησον, καί, ὡς ἐκεῖνοι οἱ ὄχλοι καὶ οἱ Παῖδες, τὸ Ὡσαννά σοι προσφέροντας, διαφύλαξον· ὅπως ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς καταξιωθῶμεν τῆς ζωοποιοῦ καὶ τριημέρου Ἀναστάσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν